# 12 DECEMBRIE

# SLUJBA SF.IERARH-MUCENIC ALEXANDRU AL IERUSALIMULUI

# MINEIUL-GR



# Ἀκολουθία Ἱερομ. ΑΛΕΞΑΝΔΡΟΥ Ἀρχιεπισκόπου Ἱεροσολύμων

**Ἀντ. Μάρκου**

Ψαλλομένη τῇ 12η Δεκεμβρίου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, είς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρά Προσόμοια. Ἦχος πλ. α'. Χαῖροις ἀσκητικῶν.

Χαίροις, νέας Σιών ὁ πατήρ,* τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ὁ διάκοσμος,* ἡ δόξα Αὐτῆς καὶ κλέος καὶ τῶν πιστῶν στηριγμός·* τῶν ἁμαρτανόντων ἡ διόρθωσις,* πιπτόντων ἀνόρθωσις,* ὀχλουμένων διάσωσις,* δεινῶς πασχόντων* έν Κυρίῳ ἡ ἴασις,* κατατρυχομένων πειρασμοῖς ἡ ἐνίσχυσις·* χαίροις, ὦ πανσεβάσμιε,* δοχεῖον τῆς χάριτος,* ναέ τοῦ μόνου Δεσπότου* Πατρός, μονὴ ἡ τοῦ Πνεύματος·*

τῷ Λόγῳ πρεσβείαν,* ἱκετεύομεν μή παύειν* ποιεῖν εκάστοτε.

Χαίροις, Καππαδοκίας βλαστός,* Ἀλεξανδρείας εὐωδέστατον ἄνθισμα,* λαοῦ σου ὁ ποδηγέτης,* Γραμμάτων ὁ στηριγμός,* Ἱεροσολύμων ὁ Ἐπίσκοπος·* πατήρ ὁ δειξάμενος* τέκνων ἀπείρων ἐν πνεύματι*, ἅ πρός Πατέρα* τόν οὐράνιον ἔργοις σου* καθοδηγήσας,* ἐκθρέψας λόγοις τοῦ Πνεύματος.* Δόξα σοι, πανσεβάσμιε,* Ἀλέξανδρε ἔνδοξε,* δέχου ἡμῶν τε τόν ὕμνον* καί τῆς καρδίας τήν πρόθεσιν,* προχέων σοῖς φίλοις* εὐλογίαν τήν ἐξ ὕψους* καί ἀπό παθῶν ἀπολύτρωσιν.

Χαίροις, ὁ θείου Τάφου φρουρός,* θείου Ναρκίσσου μαθητής καί διάκονος* καί τούτου ὁ μιμητής τε* ἐν τῇ προνοίᾳ αὐτοῦ,* ὑπέρ τοῦ ποιμνίου* Χριστῷ πιστεύοντος·* Πατήρ ἀναδέδειξαι* ἐν Παλαιστίνῃ, μακάριε,* ἐπισκοπεύσας* ἐν Φλανιάδι, Ἀλέξανδρε,* ὑπέρ λαοῦ σου* ἀναλώσας τόν βίον σου.* Σπεῦσον, οὖν, πανσεβάσμιε,* ἡμᾶς περιτείχισον* εὐχαῖς ἁγίαις, ὡς ἔχων* τήν παρρησίαν πρός Κύριον,* τούς πίστει ὑμνοῦντας* τήν σήν ἄθλησιν, ἐξαίρων* πάσης κακώσεως.

Δόξα. Ἦχος πλ. β΄.

Φοβερά καί παράδοξα,* τά ἔργα τοῦ Ἁγίου Σου, Κύριε·* ὅτι διά τήν Σήν ἀγάπην,* Ἀλέξανδρος ἀνώτερος ὤφθη·* διά δέ τόν πλοῦτον τῆς Σῆς

βασιλείας, * πλοῦτον τόν φθειρόμενον ὡς σκύβαλον ἡγήσατο·* ἐν ποιμανσίᾳ ἀγωνιζόμενος* καὶ ἱεραρχίᾳ προσφερόμενος,* ἐν ἀγῶσι πρόθυμος,* ταῖς ἀρεταῖς ἐργαζόμενος,* ἔτυχεν παρά Σοῦ τοῦ τῆς δόξης στεφάνου.* Τούτου ὑπέρ ἡμῶν δεομένου,* δέχου τήν πρεσβείαν, Πολυέλεε,* καὶ ἐπίφανον τῷ λαῷ Σου ἐν φωτί,* ού πυρί,* ἐλεῶν καὶ φωτίζων ἡμᾶς τούς ὑμνοῦντας Σε.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, Σύ εἶ ἡ ἄμπελος...

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον.Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Σιωνίτιδος θρόνου Ἀρχιθύτην καὶ Μάρτυρα* καὶ τόν τῶν Γραμμάτων προστάτην,* θεοφόρον Ἀλέξανδρον,* τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί·* αὐτός γάρ τῆς Τριάδος ἐραστής* ἀνεδείχθη καὶ ἐν ἀγῶσι πνευματικοῖς,* ἐν τῷ σταδίῳ ἐκομίσατο τά βραβεῖα·* δόξα, οὖν, ἐκβοήσωμεν αὐτῷ,* δόξα τῷ ἀναδείξαντι,* δόξα τῷ ἐν Ἁγίοις θαυμαστῷ,* Χριστῷ τῷ Θεῷ ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου* Σοί, Παρθένε, τὸ χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης* ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαυΐδ·* ἐδείχθης πλατυτέρα* τῶν οὐρανῶν,* βαστάσασα τὸν Κτίστην Σου·* δόξα τῷ ἐνοικήσαντι

ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ,* δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, είς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ᾽ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρά Προσόμοια. Ἦχος δ᾽. Ἔδωκας σημείωσιν.

Τῆς Ἑλλήνων παιδείας τε* φιλοσοφίας τόν κάτοχον,* ἅμα Χριστοῦ θείας γνώσεως,* τιμῶμεν τόν πρύτανην,* Ἀλέξανδρον ἄλλον,* διάφορον Μεγάλου* τοῦ Μακεδόνος, ὅτι αὐτός* Γένος Ἑλλήνων ἔργῳ ἐδόξασεν,* Σιών τόν θρόνον ὁμοίως τε·* αὐτόν τιμῶντες βοήσωμεν,* χαῖρε Πατέρων ὁμόσκηνε,* τοῦ Ναρκίσου διάδοχε.

Σιωνίτιδος θρόνου τε* καί Φλανιάδος Ἐπίσκοπος,* ἀνεδείχθης, μακάριε,* τῇ γνώσει κοσμούμενος* τῶν Γραφῶν τῶν θείων·* θύραθεν παιδείας* ὁμοίως κάτοχος φανεῖς·* διό τήν πρώτην βίβλων κατάθεσιν* τῇ πόλει σου ἐνήργησας·* ᾗ καί τιμᾷ σε ὡς φιλόμουσον* τοῦ Κλήμεντος ἀνάστημα,* ἅμα Κυρίου θεράποντα.

Φωταυγής ὥσπερ ἥλιος,* ἐκ Καισαρείας ἀνέτειλας* καταρδεύων ὑφήλιον,* ῥοῇ τῶν αἱμάτων σου,* τῶν σεπτῶν παμμάκαρ,* Ἀλέξανδρε

πάτερ,* Ἱεραρχῶν ἡ καλλονή,* Κυρίου Τάφου φύλαξ καί Ἄγγελε·* διό σοῦ τήν πανίερον* καί πανυπέρτιμον ἄθλησιν,* εὐλογοῦντες δοξάζομεν* καί μελωδοῦντες τιμῶμεν σε.

Θῦμα ἱερώτατον,* ὑπέρ Τριάδος γενόμενος,* προκηρύττεις τοῖς πέρασι* Πατέρα τόν Ἄναρχον* καί τόν Τούτου Λόγον,* Ἀλέξανδρε πάτερ,* καί τό Πανάγιον ὁμοῦ,* ἐν σοί σκηνῶσαν, Πνεῦμα Παράκλητον·* διό καί μακαρίζεσαι* χρεωστικῶς καί γεραίρεσαι,* ὡς λυτρούμενος ἅπαντας,* πάσης βλάβης καί λύμης τε.

Ὅλος σύ γενόμενος,* τῆς εὐσεβείας ἑδραίωμα,* ἐξ αἱμάτων κατάρρυτος* ἐφάνης, Ἀλέξανδρε,* μέσον τοῦ σταδίου,* ἐλέγχων τυράννων* τήν ψευδοπίστιν καί Χριστοῦ* διακηρύττων τήν θείαν δύναμιν·* διό πληγῶν τοῖς τραύμασι,* ἐν τῇ εἱρκτῇ κατακείμενος,* τοῦ νυμφῶνος ἠξίωσαι* τοῦ οὐρανίου, μακάριε.

Σθένει ἐνθεώτατα,* ὑπέρ Τριάδος ἐνήθλησας,* ἐν σταδίῳ Ἀλέξανδρε,* ἐν ὁ διεκήρυξας* πίστιν τήν ἁγίαν,* Χριστοῦ τοῦ Κυρίου,* Ὅν ὁμολόγησας Θεόν* καί δυναστείαν τήν πολυμήχανον,* βελίαρ τοῦ ἀλάστορος* καί ἐθνικῶν τήν μικρόνοιαν* ὡς ἔνθεος* ἀθλητής τοῦ Κυρίου σου.

Δόξα. Ἦχος α΄.

Ἀθλήσεως πόνοις ἐκγυμνασάμενος,* ποιμενάρχης ὅσιος ἐγένου* καί πατήρ ἀληθής

τοῦ σοῦ ποιμνίου, Ἅγιε·* ἑπιπνοίᾳ γάρ Πνεύματος,* Ἀλέξανδρε μακάριε,* Ἱεροσολύμων τόν θρόνον κατεκόσμησας* καί ἐν αὐτῷ ἀνεδείχθης* τῶν πιστευόντων διδάσκαλος·* πρός Δεσπότην τόν Σωτῆρα οὖν* μή παύεις δεόμεθα τοῦ πρεσβεύειν,* ἵνα ῥύσηται ἡμᾶς* πάσης περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν,* τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν* καὶ τὸν Δεσπότην τεκοῦσαν,* τὴν ἐπουράνιον πύλην* ὑμνήσωμεν, Μαρίαν τὴν Παρθένον,* τῶν Ἀσωμάτων τὸ ᾆσμα* καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·* αὕτη γὰρ ἀνεδείχθη οὐρανός* καὶ ναὸς τῆς Θεότητος·* αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα,* εἰρήνην ἀντεισῆξε* καὶ τὸ Βασίλειον ἠνέῳξε.* Ταύτην οὖν κατέχοντες* τῆς πίστεως τὴν ἄγκυραν,* ὑπέρμαχον ἔχομεν* τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.* Θαρσείτω τοίνυν,* θαρσείτω λαὸς τοῦ Θεοῦ* καὶ γάρ Αὐτὸς πολεμήσει τοὺς ἐχθρούς,* ὡς παντοδύναμος.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τό Ἀνάγνωσμα (Κεφ. μγ' 9 –14).

Τάδε λέγει Κύριος. Πάντα τά ἔθνη συνήχθησαν ἅμα καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς

ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἤ τά ἐξ ἀρχῆς τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καί ἐγώ μάρτυς Κύριος ὁ Θεός καί ὁ παῖς ὅν ἐξελεξάμην, ἵνα γνῶτε καί πιστεύσητέ μοι καί συνῆτε, ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα· ὠνείδισα καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ μάρτυς Κύριος ὁ Θεός. Ὅτι ἐξ ἀρχῆς ἐγώ εἰμί καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει τῶν ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ

ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. α΄ 15 – στ΄ 3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου. Ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον Αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καί περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει Αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν

ἀλοῦνται καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσ-σης, ποταμοί δέ συγκλήσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαίλαψ ἐκλιμήσει αὐτούς· καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καί σύνετε, μάθετε δικασταί περάτων γῆς, ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους καί οἱ γεγαυ-ρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

Εἰς τήν Λιτήν Στιχηρά Ἰδιόμελα.
Ἦχος α'

Εὐφραίνου ἐν Κυρίῳ ἅπασα Καππαδοκία,* ὡς μήτηρ καλλίγονος,* ἐπί τοῖς σοῖς τέκνοις εὐφραινομένη·* ἐκ σοῦ γάρ ἐβλάστησεν* ὁ εἰς ἔπαινον σήμερον προκείμενος,* Ἀλέξανδρος ὁ Ἱεροσολύμων Ἐπίσκοπος·* οὗτος γάρ ἐν Φλαβίᾳ τό πρῶτον* Ἱεραρχῶν ὑπογραμμός ἐδείχθη,* δι'εὐποιΐας καί ἀσκήσεως·* αὐτοῦ τήν μνήμην οὖν πιστῶς ἑορτάζοντες,* χεῖρας κροτοῦμεν βοῶντες* πρός Χριστόν τόν Κύριον·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

Ἦχος β'.

Ἐν τοῖς Ἁγίοις αὐτῆς ἐκαυχᾶτο ποτέ* ἡ μακαρία Σιών,* ἡ Ἰάκωβον γεννήσασα* καί Νάρκισσον ἀναδείξασα·* τά νῦν δέ καυχᾶται ἐπ' Ἀλεξάνδρῳ* τό αὐτῆς ποιμένι,* ὅς Κλήμεντος τοῦ πάνυ ἔτυχεν μαθητής,* ἐν τῷ Ἀλεξανδρείας πνευματικόν ἐργαστήριον.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον Πάτερ ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί ὑμῶν δεχθῇ τήν μετάνοιαν,* πρεσβείαις καί λιταῖς ταῖς σαῖς, Ἅγιε.

Ἦχος γ'.

Ἐν τοῖς Ἁγίοις αὐτῆς καυχᾶται* Σιών ἡ ἔνδοξος,* ἡ Ἰακώβου τοῦ Ἀποστόλου Ἐκκλησία καί κλῆρος,* ἐπ' Ἀλεξάνδρῳ τόν αὐτῆς* ἀρχιθύτην τε καί ποιμένα,* ὅς μαρτυρίου τόν στέφανον* ἐν τῇ εἱρκτῇ ἐδέξατο.* Αὐτῷ οὖν βοήσωμεν πιστοί·* Κύριον τόν Θεόν Πάτερ ἱκέτευε,* ἵνα ἀπαλλάτει πειρασμῶν καί κινδύνων* τούς πίστει τελοῦντας σοῦ τό μνημόσυνον.

Ἦχος δ'.

Τῶν ἀνθρώπων διωκώντων Σε, τά ἄλογα κτήνη Σέ ἠδέσθησαν, ἅγιε Πάτερ Ἀλέξανδρε· ἐν σταδίῳ γάρ Χριστόν ἐκήρυξας καί Αὐτόν ὁμολόγησας Θεόν σεσαρκωμένον, εἰς ἔλεγχον τῶν ἀρνητῶν τῆς ἐπί γῆς Αὐτοῦ παρουσίας. Αὐτῷ οὖν καθικέτευσον, ἔλεος καί εἰρήνην

καταπέμψαι, έπί τούς τιμῶντας Σοῦ τήν μνήμην τήν πανίερον.

Δόξα. Ἦχος πλ. α'.

Ἱερατικῆς έραστής γενόμενος πολιτείας,* ποιμαντικούς άγῶνας έπεδείξω,* έν Φλαβίᾳ καί Σιών έργασάμενος, Ἅγιε·* δι' ὧν λαόν τόν τοῦ Θεοῦ* έπί πόαν άληθείας ὁδηγήσας,* τοῦτον έξέθρεψας τῇ τοῦ Πνεύματος βρώσει·* ὅθεν, Ἀλέξανδρε σοφέ,* μετά πάντων τῶν Ἁγίων* τόν Κύριον ἱκέτευε,* τοῦ λαβεῖν ἡμᾶς εύχαῖς σου καί ἱκεσίαις,* παρ' Αύτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν,* ὡς Θεοῦ Μητέρα·* Εὐλογημένη, πρέσβευε* σωθῆναι ἡμᾶς.

Είς τόν Στίχον ἱστῶμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν ούρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν λαβών, Ἀλέξανδρε,* σῇ βιοτῇ καθεῖλες* τόν άρχέκακον ὄφιν·* λαοῦ σου δέ έδείχθης πρός ούρανόν* ὁδοδείκτης, μακάριε·* διό τήν μνήμην σου ἄσμασιν καί ώδαῖς* άναμέλποντες τιμῶμεν σου.

Καππαδοκία σοί χαίρει, ἡ σέ βλαστήσασα,* καί Φλανιάς κηρύττει,* τούς σούς άγῶνας έκθύμως·* καί πᾶσα Ἐκκλησία ἡ τοῦ Χριστοῦ* μακαρίζει σε, Ἅγιε·* ὡς άρχιθύτην Κυρίου καί τῶν πιστῶν* ποδηγέτην τόν θεόφθογγον.

Τῆς Φλανιάδος χορεύει ἡ πόλις, Ἅγιε,* ὡς μήτηρ καυχωμένη,* ἐπί τῇ θείᾳ σου δόξῃ·* ὁ τάφος δέ Κυρίου ὁ ἱερός,* λαμπρούς ἀγῶνας κηρύττει σου·* τούτων ὑπάρχεις γάρ δόξα καί ἡ τιμή,* ἡμῶν δέ πρέσβυς πρός τόν Κύριον.

Ἡμῶν τήν χώραν, ὦ Πάτερ, τήν κινδυνεύουσαν,* μή ἐπιλάθου θρόνῳ* τοῦ Θεοῦ ἐνωπίῳ* ἑστώς, ὦ Ἱεράρχα θαυματουργέ,* καί σαῖς εὐχαῖς περιφρούρησον·* ἵνα κηρύττει σήν δόξαν καί τήν τιμήν,* ἥν Χριστός σοί ἐπιβράβευσεν.

Δόξα. Ἦχος πλ. α'.

Ἐκ τῆς Ἑώας ὡς ἄνθος εὐῶδες,* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Ἀλέξανδρε μακάριε·* τῆς τε ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ* μετά τῶν μακαρίων συναγάλλῃ Ἁγίων,* ὡς ὄντως μακάριος·* διό χαριστήριον ᾠδήν σοί ᾄδοντες,* ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε,* καί τῆς ἡμῶν πατρίδος,* ἀλλ' ἀπαύστως πρέσβευε τῷ Κυρίῳ,* ὅπως ῥυσθῆναι αὐτήν τῆς παρούσης περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν,* ὡς Θεοῦ Μητέρα·* Εὐλογημένη, πρέσβευε* σωθῆναι ἡμᾶς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Σιωνίτιδος θρόνου Ἀρχιθύτην καί Μάρτυρα* καί τόν τῶν Γραμμάτων προστάτην,* θεοφόρον Ἀλέξανδρον,* τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί·* αὐτός γάρ τῆς Τριάδος ἐραστής* ἀνεδείχθη καί ἐν ἀγῶσι πνευματικοῖς,* ἐν τῷ σταδίῳ ἐκομίσατο τά βραβεῖα·* δόξα, οὖν, ἐκβοήσωμεν αὐτῷ,* δόξα τῷ ἀναδείξαντι,* δόξα τῷ ἐν Ἁγίοις θαυμαστῷ,* Χριστῷ τῷ Θεῷ ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου* Σοί, Παρθένε, τὸ χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης* ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαυΐδ·* ἐδείχθης πλατυτέρα* τῶν οὐρανῶν,* βαστάσασα τὸν Κτίστην Σου·* δόξα τῷ ἐνοικήσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ,* δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ἐκ τοῦ βορρᾶ,* ἐν Παλαιστίνῃ ἐκλάμψας,* φωτί τῶν ἀρετῶν,* ἔργοις τε καί ἀγῶσι,* φωτίζεις τήν παγκόσμιον* Ἐκκλησίαν καί ἅπασαν* γῆν, καλούμενος* ἐπί τῇ θείᾳ σου

μνήμῃ,* είς πανήγυριν,* Ἀλέξανδρε θεοφόρε,* ἡμᾶς τούς τιμῶντας σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἁγνή ἡ τόν Θεόν* ἡμῶν τεκοῦσα, τό κλέος* ἁπάντων εὐσεβῶν,* ἡ χαρά καί ἡ δόξα·* μή παύῃς δεόμεθα* ἱκετεύειν Ὅν ἔτεκες,* ἵνα ῥύσηται* ἡμᾶς παθῶν ψυχοφθόρων* καί δωρήσηται* ζωῆς ἀλήκτου τόν τόπον,* πρεσβείαις Σου, Πάνσεμνε.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὁ τῆς Σιών πανευκλεής ποιμενάρχης* καί Καισαρείας* ὁ πανένδοξος γόνος,* παρά Χριστοῦ μεγάλην χάριν ἔλαβεν·* Ἀρχιερέων ἔπαινος,* ὁμοῦ Μαρτύρων, καί δόξα,* σεπτός ἀναδέδεικται·* πάντας οὖν νῦν προσκαλεῖται,* μνήμην τελέσαι ἑαυτοῦ· οὗ ταῖς λιταῖς,* σκέπε καί σῶζε* τούς ὑμνοῦντας Σε Κύριε.

Δόξα τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Χαῖρε ὦ Δέσποινα,* πανυπερπόθητε Κόρη,* δαιμόνων φρύαγμα,* ἀνθρώπων θεῖος λιμήν τε,* οἱ τοῦ Χριστοῦ ἐνθέως ἀνυμνοῦμεν Σε·* σπεῦσον, Μῆτερ, πρόφθασον,* τῇ μεσιτείᾳ Σου σῶσον* τούς ἀεὶ προστρέχοντας* τῇ παναχράντῳ Σου σκέπῃ·* ἀπό κινδύνων ῥῦσαι χαλεπῶν* τούς Σέ τιμῶντας,* Παρθένε ἀκήρατε.

Μετά τόν Πολυέλεον, Καθίσματα. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Ἐκκλησίας ἐδείχθης φωστήρ ὑπέρλαμπρος,* δι' ἁγιότητος βίου ἐκλάμπων πέρασι* τῆς ὑφηλίου καί ῥοαῖς* τῶν σῶν αἱμάτων τοῦ ἐχθροῦ* κατατροπώσας αὐτήν* κατέπνιξας τήν στρατείαν* διό ἐκτήσω τήν χάριν* τοῦ ἱκετεύειν ἀπαύστως* ἡμῶν τὸν Κύριον, Ἀλέξανδρε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Σοῦ Θεοτόκε ὁ οἶκος, ὁ τῆς Ἑλλάδος, τά νῦν* ὑπ' ἀπροβλέπτου κινδύνου δεινῶς ταράττεται *καί αἱμάσει· Μαριάμ,* σπεῦσον οὖν πρόφθασον ταῖς Σαῖς* πρός Κύριον σεπταῖς λιταῖς,* τῇ παρρησίᾳ Σου, Ἁγνή,* καί ῥῦσαι τοῦτον, Παρθένε,* καί ἀναστήλωσον, Μῆτερ,* ἐν εὐσεβείᾳ καί χριστότητι.

Οἱ Ἀναβαθμοί, τό α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον εἰς Ἱεράρχην (ζήτει τῇ ιγ' Νοεμβρίου, εἰς τὸν Ὄρθρον).

Ὁ Ν' Ψαλμός.

Δόξα.

Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με ὁ Θεός,...*

Ἐν τοῖς Ἁγίοις αὐτῆς ἐκαυχᾶτο ποτέ* ἡ μακαρία Σιών,* ἡ Ἰάκωβον γεννήσασα* καί Νάρκισσον ἀναδείξασα·* τά νῦν δέ καυχᾶται ἐπ' Ἀλεξάνδρῳ* τό αὐτῆς ποιμένι,* ὅς Κλήμεντος τοῦ πάνυ ἔτυχεν μαθητής,* ἐν τῷ Ἀλεξανδρείας πνευματικόν ἐργαστήριον.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον Πάτερ ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί ὑμῶν δεχθῇ τήν μετάνοιαν,* πρεσβείαις καί λιταῖς ταῖς σαῖς, Ἅγιε.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· «ΑΛΕΞΑΝΔΡΟΝ ΣΙΩΝΙΤΗΝ ΑΝΥΜΝΩ. ΑΝΤΩΝΙΟΣ».

Ὠδή α'. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἄνεσιν καί ὑγείαν δίδου ἡμῖν,* Ἀλέξανδρε πάτερ,* Ὀρθοδόξων ὁ βοηθός·* τῇ σκέπῃ γάρ τῶν θείων πρεσβειῶν σου,* πάντες προσφεύγομεν ἐν περιστάσεσι.

Λύτρωσιν σὴν δώρησαι τῶν ψυχῶν* ἅμα καί σωμάτων,* Καισαρείας γόνε λαμπρέ* καί Καππαδοκίας, ὦ προστάτα* καί πάσης πλάνης διῶκτα, Ἀλέξανδρε.

Δόξα.

Ἑλλάδος τῷ γόνῳ καί τῆς Σίων* τῷ θείῳ ποιμένι* νῦν προσπίπτομεν οἱ πιστοί,* αἰτούμενοι θείας βοηθείας* παρά Κυρίου, αὐτοῦ ταῖς δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

Ξενίζει ὁ τόκος Σου, Μαριάμ,* Ὅν ὁ Ἱεράρχης* διά βίου ἀκολουθῶν,* τούς κατακλυσμῷ τῆς ἁμαρτίας,* Εὐαγγελίου τῷ ἀγκίστρῳ ἀνήλκησεν.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἀξίωσον πάντας* ἰδεῖν τοῦ Πνεύματος, Ὅσιε,* ἐφ’ ἡμᾶς ἐξ οὐρανῶν εὐλογίαν* καί τήν στερέωσιν,* ἐν τῇ ἀγάπῃ Χριστοῦ,* ὑπέρ ἡμῶν τοῦ παθόντος,* σαῖς θερμαῖς δεήσεσι,* θείοις τε ἐντεύξεσι.

Νεύσει θείου ἐλέους* καθικετεύομεν, Ἅγιε,* πᾶσι αὐγασθῆναι τοῖς πόθῳ* σοί καταφεύγουσι* καί τοῖς τιμῶσι τήν σήν* μνήμην καί θείαν εἰκόνα* καί λαβεῖν τήν ἴασιν* ταῖς σαῖς δεήσεσι.

Δόξα.

Δεῦρο, Πάτερ, τούς πόθῳ* ὑπό τήν σκέπην σου σπεύδοντας* καί γονυκλινῶς αἰτουμένους* τήν σήν ἀντίληψιν·* μή ἐπιλάθου, φωστήρ* Καππαδοκίας σῶν τέκνων* καί τῆς Σιωνίτιδος μητρός, Ἀλέξανδρε.

Καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι πάντας, Παρθένε,* τούς Σά θαυμάσια ψάλλοντας·* χαῖρε τῶν παρθένων ἡ δόξα,* ἡμῶν τό στήριγμα·* τῇ ἱκεσίᾳ, Σεμνή,* σεπτοῦ Πατρός Ἀλεξάνδρου,* πάντας περιφρούρησον, Βηλθεεμίτισσα.

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τούς ἀγῶνας καί κόπους τούς Σούς, πιστοί* νοερῶς θεωροῦντες, πλήν εὐκρινῶς,* πάσης κατανύξεως τάς ψυχάς ἐμπιμπλάμεθα* καί πρός θεῖον ὕμνον καί δόξαν καί αἴνεσιν,* τοῦ κόσμου Κυρίου, τοῦ πάντων δεσπόζοντος,* πόθῳ ἐγκαρδίῳ ἑαυτούς συγκινοῦμεν,* ᾠδαῖς σέ γεραίροντες, ὡς Πατέρων ὁμότροπον* καί πιστῶς ἐκβοῶμεν σοι·* πρόφθασον ἱλέωσαι Κριτήν* σαῖς πρός Τοῦτον ἐνθέρμοις δεήσεσιν·* Αὐτόν ἐπίκαμψον σεπτέ,* τὸ τῆς Σιών καί Καισαρείας ἀγλάϊσμα.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Χαριστήριον αἶνον χρεωστικῶς,* ὡς ἡ χήρα ἐκείνη δύο λεπτά,* προσφέρω Σοι, Δέσποινα,* ὑπέρ πασῶν τῶν χαρίτων Σου·* Σύ γάρ ὤφθης σκέπη, ὁμοῦ καί ἀντίληψις,* πειρασμῶν καί θλίψεων ἀεί με ἐξαίρουσα·* ὅθεν ὡς ἐκ μέσου* φλογιζούσης καμίνου,* ῥυσθείς τῶν θλιβόντων με,* ἐκ καρδίας κραυγάζω Σοι·* Θεοτόκε βοήθει

μοι,* πρεσβεύουσα τῷ Σῷ Υἱῷ καί Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ὀρθοδόξων προστάτην,* Καππαδοκίας γόνον τόν ἐνδοξότατον,* ἀνυμνήσωμεν θεόφρονες,* τόν οὐρανοβάμονα Ἀλέξανδρον.

Ναοῦ τοῦ θείου Κυρίου* πιστός θεράπων Μάρτυς Ἀλέξανδρε* ἀνεδείχθης· τήν εἰκόνα σου* ὅθεν μετά πόθου ἀσπαζόμεθα.

Δόξα.

Σῶσον, Πάτερ, τούς θείᾳ* τά νῦν εἰκόνι σου κύπτουσι* καί δυνάμει τῇ τοῦ Πνεύματος,* ῥῦσαι προσβολῶν τῶν τοῦ ἀλάστορος.

Καί νῦν. Θεοτοκίον.

Ἴδε, Κόρη, τούς δούλους Σου* καί τήν μητρικήν Σου ἀγκάλην ἄνοιξον,* τήν βεβαίαν Σου παρέχουσα* σώζουσαν ἡμᾶς θερμήν ἀντίληψιν.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ὦ τῆς πρός ἡμᾶς* τοῖς προσπίπτουσι σῇ χάριτι,* ἐπομβρίας οὐρανίου ἱλασμοῦ,* τοῖς ἱκέταις Σου, Ἀλέξανδρε θεόληπτε.

Νίκην ἐκ Θεοῦ* ταῖς εὐχαῖς Σου ἡμῖν δώρησαι,* τοῦ Βελίαρ καταργῶν τάς προσβολάς,* ὡς Κυρίου ἀρχιθύτης, Πάτερ Ἅγιε.

Δόξα.

Ἴασαι ἡμῶν* τάς πληγάς θείαις πρεσβείαις σου,* τοῖς προστρέχουσι σῇ σκέπῃ τῇ σεπτῇ* καί ἀντιλήψει σου τῇ θείᾳ, Πάτερ Ὅσιε.

Καί νῦν. Θεοτοκίον.

Τήν ὑπέρ ἡμῶν* μεσιτείαν Σου αἰτούμεθα,* ἥν προσάγαγε Ἀλεξάνδρου ταῖς λιταῖς,* πρός τόν Κύριον Ὅν ἔτεκες, Πανύμνητε.

Ὠδή στ'. Τήν δέησιν.

Ἤρθη ἀφ' ἡμῶν* τῆς ψυχῆς πᾶσα σκοτόμαινα,* τῇ πρεσβείᾳ τοῦ σεμνοῦ Ἀρχιθύτου,* τοῦ τῶν πιστῶν ἱλαροῦ ποδηγέτου,* τῶν ἐν ἀνάγκαις προθύμου ἀντιλήπτορος,* τῶν προσπιπτόντων ἐπ' αὐτῷ* καί ἐκζητούντων αὐτοῦ τήν βοήθειαν.

Νενίκηται* ἡ ἐν ἡμῖν ἐσχάτη ἔκπτωσις,* τοῦ Κυρίου σεπτέ Ἱεράρχα·* ὡς εἰληφώς γάρ πλουσίαν τήν χάριν* τοῦ θεραπεύειν τά πάθη καί τραύματα* καί τάς ὀδύνας τῆς ψυχῆς* ἡμῶν διώκεις τήν ζόφωσιν, ἔνδοξε.

Δόξα.

Ἆρον τόν κλοιόν* πειρασμῶν, πάτερ Ἀλέξανδρε, σαῖς ἐμπύροις πρός τόν Κύριον πρεσβείαις·* θαυματουργεῖν γάρ ἐκομίσω τήν χάριν* καί δωρεάν τήν τοῦ Πνεύματος, Ὅσιε·* διό ὡς προστάτης ἀληθῶς,* Καππαδοκίας ἁπάσης τεμίμησαι.

Καὶ νῦν. Θεοτοκίον.

Ναῷ Σου* θείῳ προσφεύγομεν, Κόρη,* καί μετά πίστεως οἱ δοῦλοι Σου βοῶμεν·* Χριστόν δυσώπει Σοῦ δεόμεθα, Μῆτερ,* τοῦ ἐλεῆσαι ἡμᾶς τούς προστρέχοντας,* ὑπό τήν σκέπην τήν σεπτήν* Σοῦ τῆς Μητρός Του, Μαρία Θεόνυμφε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ἀλεξάνδρου οἱ πιστοί τήν μνήμην σήμερον* ᾠδαῖς εὐήχοις καί εὐμόλποις μακαρίσωμεν,* τοῦ κλεήσαντος τόν θρόνον τῆς Φλανιάδος·* ἐν τῇ Πόλει τῇ Ἁγίᾳ εἰς τό ὕστερον* καί τῷ Τάφῳ τοῦ Κυρίου ἀναδειξάμενον·* πρός ὅν εἴπωμεν,* χαίροις Πάτερ Ἀλέξανδρε.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης ἐκ τῆς Ἑώας, θεόφρον* Ἀλέξανδρε Χριστοῦ Ἱεράρχα,* ἐν Καισαρείᾳ ἀγωνισάμενος·* ἐκεῖθεν δέ ἀνατείλας, τῷ κόσμῳ αὐγάζεις* καί πάντας λυτροῦσαι τῶν παθῶν* καί τῇ πίστει στηρίζεις πάντας·* ὅθεν τιμῶμεν Σε ᾄδοντες ταῦτα·

Χαῖρε πάτερ, ὁ Βελίαρ τῷ σῷ ἀγῶνι πατάξας·

χαῖρε μάκαρ, ὁ ἀρετήν καί ἁγνοίαν διδάξας.

Χαῖρε, ὁ ὑποστάς τούς τῆς ἀθλήσεως πόνους·

χαῖρε, ὁ φανεῖς ὑπέρ τούς τῆς φύσεως νόμους.

Χαῖρε, ἄνθος ὡραῖον τῆς κλεινῆς Καππαδοκίας·

χαῖρε, ἀγλάϊσμα τερπνόν τῆς Χριστοῦ Ἐκκλησίας.

Χαῖρε, Ἱεροσολύμων ὁ οὐρανοφθόγγος ἐρωδιός·

χαῖρε, κόσμου ὁ προστάτης, οὐρανοδρόμος ὁδηγός.

Χαῖρε, ὁ ὑπάρχων τῶν Ὀρθοδόξων λαμπρότης·

χαῖρε, ὁ τυγχάνων τῆς Ἐκκλησίας φαιδρότης.

Χαῖρε, ἥλιε ὁλόφωτε τῆς Ἐκκλησίας τοῦ Χριστοῦ·

χαῖρε, βάσις ἀρραγεστάτη τοῦ ποιμνίου τοῦ Θεοῦ.

Χαίροις Πάτερ Ἀλέξανδρε!

Συναξάριον.

Τῇ 12η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἀλεξάνδρου Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ Ἱερομάρτυρος.

Στίχοι·

*Ἀλέξανδρος ἐν Σιών μεγάλος ἐφάνη,*
*ἑπόμενος Ναρκίσσου τοῦ Μάρτυρος τοῖς τρίβοις.*
*Χαίρων οὐρανός Ἀλεξάνδρου ψυχήν ἐδέξατο,*

*διό ψαλμικῶς αὐτόν γεραίρομεν.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.

ᾨδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὕμνος ἡ σή ἐφάνη* βιοτή τῷ Θεῷ σου,* διό Ἀλέξανδρε,* Σιών πέλεις τό κλέος,* ἐν σοὶ δὲ ἐγκαυχάται,* ἧ καὶ ψάλλει κραυγάζουσα·* ὁ Πατέρων ἡμῶν* Θεός εὐλογητός εἶ.

Μέγιστα ἠργάσω* ἐν μέσῳ τοῦ σταδίου* ἀγωνισάμενος, πάτερ Ἀλέξανδρε,* ὅτε τοῖς θηρίοις* ἀγρίοις ἐπερρίφθης* καὶ ἀπαύστως ἐκραύγαζες·* ὁ Πατέρων ἡμῶν* Θεός εὐλογητός εἶ.

Δόξα.

Νόσων καὶ κινδύνων* ἰατρός ἐδόθης,* Πάτερ, τῷ κόσμῳ, διό θεράπευσον* τραύματα καὶ πληγάς τε* ἡμῶν τάς ἀοράτους,* ὅπως ἀεὶ ἐκβοώμεν Σοι·* ὁ Πατέρων ἡμῶν* Θεός εὐλογητός εἶ.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ Μῆτερ Θεοτόκε,* ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου Ἁγνή·* ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·* χαῖρε οὐράνιε λιμήν* πάντων τῶν σωζομένων.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἁγίων, Πάτερ,* ἐμιμήσω τόν βίον,* διό χαρίτων πλησθείς παρά Κυρίου,* προστάτης πάντων ἡμῶν* καί ἔφορος νῦν πέλεις.

Ναός καί είκόνα* τοῦ θείου Ἀλεξάνδρου,* ἰατρεῖον πρόκεινται τοῖς πᾶσι* τοῖς αὐτοῦ τιμῶσι* τήν θειωτάτην μνήμην.

Δόξα.

Τήνδε πληροῦντες* ᾠδήν Ἀλεξάνδρου,* ἐλπίζομεν τυχεῖν αὐτοῦ πρεσβείαις,* ἐν μετανοίᾳ* τοῦ μακαρίου τέλους.

Καί νῦν. Θεοτοκίον.

Ὦ φῶς μοι δίδου,* ψυχῆς ἀορασίαν,* φωταγωγοῦσα Σύ, φωτός ἀκτίστου Μῆτερ,* τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Νικῆσαι διαβόλου* δόκανα καί παγίδας* τῇ σῇ πρεσβείᾳ αἰτούμεθα, Ἀλέξανδρε·* οἱ τὴν σὴν μνήμην τιμῶντες* Μαρτύρων σύσκηνε.

Ἴδε μου τήν πτωχείαν* τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρός Κύριον, Ἅγιε,* ἐμὴν ψυχὴν καταπλούτισον* Πνεύματος χάρισι.

Δόξα.

Ὁδόν τῆς μετανοίας* ἀξίωσον βαδῖσαι* καί τό χειρόγραφον, μάκαρ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ σὴν μνήμην* πᾶσι κηρύττοντος.

Καί νῦν. Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* σύν Ἀλεξάνδρῳ Κυρίῳ πρεσβεύσατε,* ἵνα δωρήσηται ἡμῖν,* ἁμαρτιῶν τὴν ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός τήν σήν ἐδέξατο* ἄθλησιν ὡς θυμίαμα,* Ἀλέξανδρε θεοφόρε,* καί ἀντιδόξασεν· ὅθεν* ἡμεῖς καθικετεύομεν* μή παύσῃς ταῖς πρεσβείαις σου,* ἁμαρτημάτων τήν λῦσιν* ἡμῖν ὁ Κύριος δώει,* τῶν σοῦ τιμώντων τήν μνήμην.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαρὰν τὴν ἀνεκλάλητον,* Πάναγνε ἡ κυήσασα,* χαρᾶς ἡμᾶς αἰωνίου,* μετόχους ποίησον πάντας,* Παρθένε θεονύμφευτε,* ἡ σκέπη τὸ κραταίωμα,* τῶν εὐσεβῶς βοώντων Σοι·* μὴ ἐπιλάθῃ Σῶν δούλων,* Θεοκυῆτορ Μαρία.

Είς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν* λαβών, Ἀλέξανδρε,* ἀθλήσει σου καθεῖλες* τόν ἀρχέκακον ὄφιν·* ἀνθρώπων δέ ἐδείχθης πρός οὐρανόν* ὁδοδείκτης, μακάριε·* διό τήν μνήμην σου ᾄσμασιν καί ᾠδαῖς* ἀναμέλποντες τιμῶμεν σου.

Καππαδοκία συγχαίρει ἡ σέ βλαστήσασα,* σύν τῇ Σιών χαρμοσύνως* καί σούς ἀγῶνας κηρύττει* καί πᾶσα Ἐκκλησία ἡ τοῦ Χριστοῦ* σέ μακαρίζει, μακάριε,* ὡς ἀρχιθύτην Κυρίου καί τῶν πιστῶν* ποδηγέτην τόν θεόφθογγον.

Σιών ἁγία χορεύει ἐπί σοί, Ἅγιε,* ὡς μήτηρ καυχωμένη* ἐπί σῇ θείᾳ δόξῃ·* Καισαρείας δέ ἡ πόλις ἡ ἱερά* λαμπρούς ἀγῶνας κηρύττει σου·* τούτων ὑπάρχεις γάρ δόξα καί ἡ τιμή,* ἡμῶν δέ πρέσβυς πρός τόν Κύριον.

Ἡμῶν τήν χώραν, ὦ Πάτερ, τήν κινδυνεύουσαν,* μή ἐπιλάθου θρόνῳ* τοῦ Θεοῦ ἐνωπίῳ* ἑστώς, Ἱερομάρτυς, καί πατρικῶς* σαῖς εὐχαῖς περιφρούρησον·* ἵνα κηρύττει σήν δόξαν καί τήν τιμήν* ἥν Χριστός σοί ἐπιβράβευσεν.

Δόξα. Ἦχος πλ. α΄.

Ἐκ Καισαρείας ὡς ἄνθος εὐῶδες* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Ἀλέξανδρε μακάριε·* τῆς τε ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ μετά τῶν καλλινίκων συναγάλλῃ Μαρτύρων,* ὡς ὄντως Ἱερομάρτυς καλλίνικος·* διό χαριστήριον ᾠδήν σοί ᾄδοντες* ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε, καί τῆς ἡμῶν πατρίδος,* ἀλλ' ἐνθέρμως πρέσβευε τῷ Κυρίῳ,* ῥυσθῆναι αὐτήν τῆς παρούσης περιστάσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καὶ δοξάζομέν Σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν,* καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Ἀπόστολος τοῦ Ἁγίου (ζήτει τῇ ιγ΄ Νοεμβρίου).

Εὐαγγέλιον ὁμοίως (ζήτει τῇ στ΄ Νοεμβρίου).

Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαῖρε τῶν Μαρτύρων ἡ καλλονή* καὶ Ἀρχιερέων, τοῖς ἀγῶσι ἀναδειχθείς·* χαῖρε Καππαδοκίας καὶ Καισαρείας γόνε,* Ἀλέξανδρε· εὐχαῖς Σου* ἡμᾶς περίσωζε.

Δίστιχον·

*Δέχου τόν ὕμνον τοῦτον, Ἀλέξανδρε τρισμάκαρ,*
*ὅν αἰτήσει Ἀλεξάνδρου, Ἀντώνιος ἐποίει.*
*Σκέπε δέ τούτους, Πάτερ, σκέπῃ τῶν σῶν χαρίτων,*
*ὁδόν τῆς μετανοίας βαδίσαι ἐκδιδάσκων.*